www.tezaurliturgic.ro

+

# ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΙΕΡΕΑ ΝΙΚΟΛΑΟΝ ΤΟΝ ΝΕΟΝ, ΤΟ᾽ΥΠΙΚΛΗΝ ΠΛΑΝΑΝ

(οὗ ἡ μνήμη τῇ 2ᾳ Μαρτίου)

* * *



* * *

᾽Εποιήθη ἐν ῾Αγίῳ ῎Ορει τοῦ ῎Αθωνος
ὑπὸ
᾽Αθανασίου ῾Ιερομονάχου Σιμωνοπετρίτου,
῾Υμνογράφου τῆς ῾Αγίας τοῦ Χριστοῦ Μεγάλης ᾽Εκκλησίας.

* 1996. *

www.tezaurliturgic.ro



**ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ**
**ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΙΕΡΕΑ ΝΙΚΟΛΑΟΝ ΤΟΝ ΝΕΟΝ,**
**ΤΟΝ ΠΛΑΝΑΝ.**

* * *

*Μετὰ τό, Εὐλογητός, ὁ ψαλμὸς 142*

Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ σου. Εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου·καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν.

Ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου, ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου. Ἐκάθισέ με ἐν σκοτεινοῖς ὡς νεκροὺς αἰῶνος·καὶ ἠκηδίασεν ἐπ' ἐμὲ τὸ πνεῦμά μου, ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου.

Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου, ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων. Διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου, ἡ ψυχή μου ὡς γῆ ἄνυδρός σοι.

Ταχὺ εἰσάκουσόν μου, Κύριε, ἐξέλιπεν τὸ πνεῦμά μου. Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ, καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον.

Ἀκουστὸν ποίησόν μοι τὸ πρωὶ τὸ ἔλεός σου, ὅτι ἐπὶ σοὶ ἤλπισα.

Γνώρισόν μοι, Κύριε, ὁδὸν ἐν ᾗ πορεύσομαι, ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου. Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, Κύριε, πρὸς σὲ κατέφυγον.

Δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

Τὸ Πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ. Ἕνεκεν τοῦ ὀνόματός σου, Κύριε, ζήσεις με.

Ἐν τῇ δικαιοσύνῃ σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου. Καὶ ἐν τῷ ἐλέει σου ἐξολεθρεύσεις τοὺς ἐχθρούς μου· καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου, ὅτι ἐγὼ δοῦλός σού εἰμι.

τό, Θεὸς Κύριος καὶ τὰ τροπάρια

*Ἦχος δ΄. Ὁ ὑψωθείς.*

Ὡς τῷ Κυρίῳ παραστὰς ἰσαγγέλως, κλέος τῆς Νάξου, ἱερέων λαμπρότης, Νικόλαε πανεύφημε ἱκέτευε θερμῶς, ὅπως τὰ αἰτήματα, τῶν πιστῶς σε τιμώντων, δέξηται καὶ ἄφθονον, καταπέμψῃ τὴν χάριν, ἥν δέδωκέ σοι ὄντι ἐπὶ γῆς, καὶ θαυμασίοις, πολλοῖς σε ἐπλούτησεν.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον, ὅμοιον.*

Οὐ σιωπήσομεν ποτὲ Θεοτόκε, τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι, εἰ μὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐρρύσατο ἐκ τοσούτων κινδύνων; τίς δὲ διεφύλαξεν, ἕως νῦν ἐλευθέρους; οὐκ ἀποστῶμεν, Δέσποινα ἐκ σοῦ, σοὺς γὰρ δούλους σῴζεις ἀεί, ἐκ παντοίων δεινῶν.

*Εἶτα ὁ Ν΄ ψαλμός·*

Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστιν διὰ παντός.

Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας, τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι, πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς με ἀγαλλίασιν καὶ εὐφροσύνην, ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Μὴ ἀπορρίψῃς με ἀπὸ τοῦ προσώπου σου καὶ τὸ Πνεῦμά σου τὸ Ἅγιόν μὴ ἀντανέλῃς ἀπ᾿ ἐμοῦ.

Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.

Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσιν.

Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου, ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.

Ὅτι εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν, ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ.

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα.

Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

*Εἶτα ψάλλομεν τὸν Κανόνα, οὗ ἡ ἀκροστιχίς:*

**“Λευῖτα Χριστοῦ Νικόλαε, ἀεὶ Αὐτῷ εὔχου. ’Α(θανάσιος)”.**

*ᾨδὴ α΄. Ἦχος πλ.δ΄. Ἁρματηλάτην Φαραώ.*

Λειτουργικὴν ἐπιποθῶν λαμπρότητα, πάτερ Νικόλαε, ἀγγελομιμήτως, τῷ Χριστῷ παρίστασο, μιμούμενος προστάτην σου, ἱεράρχην Μυρέων, μεθ’ οὗ πρεσβεύοις ἀείποτε, ὑπὲρ τῶν πιστῶς αἰτουμένων σε.

’Εν μέσῳ κόσμου θορυβώδους Ὅσιε, βίον ἐπέδειξας, ἀσκητῶν ἀρχαίων, ἄνω σου τὸ φρόνημα, ὑψῶν καὶ τὴν καρδίαν σου, ἀσφαλίζων τρισμάκαρ, χριστοφιλήτῳ ἁπλότητι, ἣν τοῖς δεομένοις σου δώρησαι.

Ὑπερορῶν τῶν ἡδονῶν τοῦ σώματος, μόνην σου ἔσχηκας, ἡδονὴν τρισμάκαρ, ὡς στρουθὸς φιλόθεος, ἐν οἴκῳ τοῦ Κυρίῳ σου, παραμένειν καὶ πόθῳ, ἀδιαλείπτως προσεύχεσθαι, καὶ κατατρυφᾶν τοῦ Δεσπότου σου.

*Θεοτοκίον*

Ἱλαστικῶς τὸν σὸν Υἱὸν ἱκέτευε, Θεομακάριστε, ὑπὲρ ἐξαιτούντων, τὴν θερμὴν πρεσβείαν σου, δωρήσασθαι

ταπείνωσιν, καὶ ἁγνότητα βίου, ὡς Νικολάῳ τῷ δούλῳ σου, ταῦτα ἐδωρήσατο Δέσποινα.

*ᾨδὴ γ΄. Οὐρανίας ἁψῖδος.*

Τὴν χηρείαν ὡς δῶρον, παρὰ Χριστοῦ δέδεξαι, ὅθεν τὴν ἁγνείαν προείλου, πάτερ Νικόλαε, δι' ἧς ἐφείλκυσας, τὸ φιλοπάρθενον Πνεῦμα, Ὃ παράσχοις ἅπασι, τοῖς ἐξαιτοῦσί σε.

Ἁγιότροπον ἔχων, τὸν λογισμὸν Ὅσιε, τῆς ἱερωσύνης ποδήρη, χαίρων ἐνδέδυσαι, καὶ διηκόνησας, σεραφεικῶς τῷ Κυρίῳ, Ὃν ἐξιλεώσαις μοι, θείαις πρεσβείαις σου.

Χριστοφόρος ἐδείχθης, ἱερουργὸς Ἅγιε, ὡς Ἀμνὸν Θεοῦ καθ' ἡμέραν, θύων καὶ τρώγων τε, ὅθεν ἐγκαίνισον, Τοῦτον ψυχῇ μου εὐχαῖς σου, θανατοῦντα πάθη μου, τὰ ἀναρίθμητα.

*Θεοτοκίον*

Ῥύου πάσης παγῖδος, τοῦ πονηροῦ Δέσποινα, ἐπικαλουμένους σὴν κλῆσιν, τὴν ζωοπάροχον, καὶ διαφύλαξον, ὥσπερ στρουθοὺς ἀπὸ πάγης, ἵνα μεγαλύνωμεν, Σὲ Παναμώμητε.

Διάσωσον ἀπὸ κινδύνων παντοίων τοὺς σοὺς ἱκέτας, ἱερέων λαμπρότης πάτερ Νικόλαε, καὶ σύναψον ἡμᾶς Χριστῷ, ταῖς σεπταῖς σου πρεσβείαις.

Ἐπίβλεψον, ἐν εὐμενείᾳ πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι, τῆς ψυχῆς μου τὸ ἄλγος.

*Κάθισμα. Ἦχος β΄. Πρεσβεία θερμή.*

Ποιμένος καλοῦ, εἰκόνισμα πανάριστον, καὶ μέγας λαοῦ, εὐχέτης ἀναδέδειξαι, ὅθεν πάτερ Νικόλαε ἱκέτευε, καὶ νῦν ἐκτενῶς ὑπὲρ ἡμῶν, Χριστῷ Φιλανθρώπῳ Ὧ παρέστηκας.

*ᾨδὴ δ΄. Εἰσακήκοα, Κύριε.*

Ἱερεῦ ἀγγελόνοε, μνήσθητι ἁπάντων συνιερέων σου, ἀλλοιῶν ψυχὰς καὶ φρόνημα, ταῖς πρὸς τὸν Δεσπότην ἱκεσίαις σου.

Στῆθι Πάτερ ἀκλόνητος, ἔμπροσθεν Κυρίου καὶ καθικέτευε, ἵνα ζόφου πλάνης ῥύσηται, τοὺς πεπλανημένους βίου πράγμασι.

Τῆς ψυχῆς μου τὸ ἄπληστον, κάθελε ἀκτῆμον πάτερ Νικόλαε, χαριζόμενος αὐτάρκειαν, καὶ προνοίας θείας τὴν ἐξάρτησιν.

*Θεοτοκίον*

Οὐρανὸν πολυάστερον, ἔδειξας Νικόλαον τὸν ἱκέτην σου, ἀρεταῖς Μῆτερ στολίσασα, τούτου τὴν καρδίαν δι’ ἁγνότητα.

*ᾨδὴ ε΄. Φώτισον ἡμᾶς.*

Ὕμνεις τὸν Θεόν, ἀγρυπνίαις ταῖς παννύχοις σου, ὦ ἱερώτατε Νικόλαε, καὶ νῦν Αὐτόν, ἱκετεύοις ὑπὲρ τέκνων σου.

Νίκην ἐν Χριστῷ, ἣν Νικόλαε κατήγαγες, κόσμον σαὐτὸν καὶ κοσμοκράτορα, καθυποτάξας, καὶ ἡμῖν εὐχαῖς σου δώρησαι.

Ἴθυνον ψυχάς, τῶν τιμώντων σε μακάριε, εἰς τὴν ὁδὸν τῆς ἁγιότητος, ἐπιστηρίζων, ταῖς ἀπαύστοις ἱκεσίαις σου.

*Θεοτοκίον*

Κάλλυνον Ἁγνή, σκοτεινόμορφον καρδίαν μου, ὡς τεξαμένη τὸν ὑπέρκαλλον, καὶ φωτοδότην, Ἰησοῦν τὸν σκότος λύοντα.

*Ὠδὴ στ´. Τὴν δέησιν ἐκχεῶ.*

Οὐράνιον, πολιτείαν ἔσχηκας, ὡς πρεσβύτερος χορείας τῆς ἄνω, διὸ τῆς γῆς, ὡς θεόπτερος Πάτερ, διακονῶν τῷ Χριστῷ ὑπερίπτασο, ἀξίωσον οὖν καὶ ἡμᾶς, γεηρῶν ὑπεραίρεσθαι πάντοτε.

Λατρεύων, τῷ Δεσπότῃ Ἅγιε, ἐκ ψυχῆς καὶ διανοίας σου ὅλης, τῶν ἱερῶν, μυστηρίων μετεῖχες, ἃ ὀφθαλμὸς θεωρῆσαι οὐ δύναται· διάνοιξον οὖν καὶ ἡμῶν, νοῦν πρὸς γνῶσιν τοῦ θείου θελήματος.

Ἀγγέλους σοι, ὑπηρέτας ἔπεμπεν, οὐρανίων οὐσιῶν ὁ Δεσπότης, τὴν νοεράν, ἐργασίαν βραβεύων, ἣν ἀδιάλειπτον εἶχες Νικόλαε, ἀξίωσον ταύτης ἡμᾶς, μετασχεῖν καὶ ἐργάζεσθαι ἔσωθεν.

*Θεοτοκίον*

Ἐλύπησα, τὸν καλόν μου Κύριον, ὡς ἀναίσχυντος καὶ ἄχρηστος δοῦλος, ὅθεν Ἁγνή, παῤῥησίαν μὴ ἔχων, σέ μου μεσίτριαν πάλιν προβάλλομαι, ἀνοῖξαι σπλάγχνα πατρικά, καὶ συγχώρησιν δοῦναι πταισμάτων μου.

Διάσωσον, ἀπὸ κινδύνων παντοίων τοὺς σοὺς ἱκέτας, ἱερέων λαμπρότης πάτερ Νικόλαε, καὶ σύναψον ἡμᾶς Χριστῷ, ταῖς σεπταῖς σου πρεσβείαις.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ' ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα, μητρικὴν παῤῥησίαν.

*Κοντάκιον. Ἦχος β´. Προστασία τῶν χριστιανῶν.*

Τοῦ Χριστοῦ ἱερεῦ ἁγιώτατε, καὶ πιστῶν πρεσβευτὰ ἑτοιμότατε, ἄνοιξόν σου, τὰ τῆς καρδίας ὦτα νοερά, φωναῖς, ἱκετευτικαῖς ὅσον ταχύ, τῶν αἰτουμένων σε πιστῶς, καὶ χρηζόντων πρεσβείας σου· νίκησον πᾶσαν θλῖψιν, δώρησαι νόσων λύσιν, καὶ σωτηρίαν ταῖς ψυχαῖς, παμμακάριστε Νικόλαε.

www.tezaurliturgic.ro

*Προκείμενον.* Οἱ ἱερεῖς σου, Κύριε, ἐνδύσονται δικαιοσύνην καὶ οἱ ὅσιοί σου ἀγαλλιάσονται.

*Στίχος.* Ἀκούσατε ταῦτα πάντα τὰ ἔθνη.

ΕΥΑΓΓΕΛΙΟΝ

*Ἐκ τοῦ κατὰ Ματθαῖον*

*(κεφ.ε΄, 14 - 19)*

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· Ὑμεῖς ἐστε τὸ φῶς τοῦ κόσμου. Οὐ δύναται πόλις κρυβῆναι ἐπάνω ὄρους κειμένη, οὐδὲ καίουσι λύχνον καὶ τιθέασιν αὐτὸν ὑπὸ τὸν μόδιον, ἀλλ' ἐπὶ τὴν λυχνίαν καὶ λάμπει πᾶσι τοῖς ἐν τῇ οἰκία. Οὕτω λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσι τὰ καλὰ ὑμῶν ἔργα καὶ δοξάσωσι τὸν Πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς. Μὴ νομίσητε, ὅτι ἦλθον καταλῦσαι τὸν Νόμον ἤ τοὺς Προφήτας. Οὐκ ἦλθον καταλῦσαι, ἀλλὰ πληρῶσαι. Ἀμὴν γὰρ λέγω ὑμῖν· ἕως ἂν παρέλθῃ ὁ οὐρανὸς καὶ ἡ γῆ, ἰῶτα ἓν ἤ μία κεραία οὐ μὴ παρέλθῃ ἀπὸ τοῦ Νόμου, ἕως ἂν πάντα γένηται. Ὃς ἐὰν οὖν λύσῃ μίαν τῶν ἐντολῶν τούτων τῶν ἐλαχίστων καὶ διδάξῃ οὕτω τοὺς ἀνθρώπους, ἐλάχιστος κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν. Ὃς δ' ἂν ποιήσῃ καὶ διδάξῃ, οὗτος μέγας κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν.

*Δόξα.* Ταῖς τοῦ σοῦ Ἁγίου.

*Καὶ νῦν.* Ταῖς τῆς Θεοτόκου.

*Στίχ. Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός...καὶ τὸ προσόμοιον.*

*Ἦχος πλ.β΄. Ὅλην ἀποθέμενοι.*

Κόσμου πόντον ἄβροχος, τρικυμιώδη διῆλθες, ὅλην σου τὴν ἔφεσιν, ἔχων πρὸς οὐράνια, ἀγγελόβιε· λειτουργῶν ὡς πύρινος, θύτης τῷ Κυρίῳ, ἐπηγρύπνεις ἐν σκηνώμασι, πάτερ Νικόλαε, τοῖς πεποθημένοις σὺν τέκνοις σου, ἁπλότητα κτησάμενος, τὴν Θεοῦ ἑλκύουσαν εὔνοιαν. Ὅθεν χαρισμάτων, δεξάμενος πλουσίως ὁρμαθόν, φάνηθι πρέσβυς ἀκοίμητος, τῶν πιστῶς τιμώντων σε.

*Σῶσον ὁ Θεὸς τὸν λαόν σου.*

*ᾨδὴ ζ΄. Παῖδες ἑβραίων.*

Ἄνωθεν φῶς σοι ἐπεφοίτα, τὴν ἐνάρετον, δηλοῦν σου πολιτείαν, ὅθεν πάτερ κλεινέ, φωτὸς θείου μετέχων, ἀκτῖνας ἐξαπόστειλον, τοῖς τιμῶσι σε ἐκ πόθου.

Ἔσχες Ἀγγέλους καὶ Ἁγίους, συνεργοῦντάς σοι, ἐν πάσῃ περιστάσει, οὓς λευῖτα σεπτέ, ἱκέτευε ἐλθεῖν μοι, συμβοηθοὺς ἐν βίῳ μου, καὶ προστάτας ἀηττήτους.

Ἵππον δυσήνιον εὐχῇ σου, καθημέρωσας, Νικόλαε τρισμάκαρ, ὅθεν πάθη ψυχῶν, κατεύνασον καὶ δίδου, εἰρήνην τὴν τοῦ Πνεύματος, τῇ ψυχῇ μου δυστροπούσῃ.

*Θεοτοκίον*

Ἄλλην οὐκ ἔχομεν ἐλπίδα, οἱ ταλαίπωροι, ἐν θλίψεσι τοῦ βίου, εἰ μὴ Δέσποινα σέ, χαρὰν ἀπηλπισμένων, καὶ νέφη διαλύουσαν, τὰ ψυχῶν θολοῦντα ὄμμα.

*ᾨδὴ η΄. Τὸν ἐν ὄρει.*

Ὑπερήφανον νοῦν Πάτερ καθεῖλες, ταπεινώσεως, φορέσας τὸν χιτῶνα, ὅθεν κἀμοῦ ταπείνωσον τὸ φρόνημα, ἵνα τοῦ Κυρίου, τὸ ἔνδυμα φορέσω.

Τῶν πενήτων προστάτης ἀνεδείχθης, ὡς κτησάμενος, ἐγκάρδιον ἀγάπην, καὶ παρεκάλεις Πάτερ τοὺς ἐν θλίψεσι, λόγοις σου γλυκέσι, δι᾽ ὧν κἀμὲ γλυκάναις.

Ὡμοιώθης Δεσπότῃ σου ὦ Πάτερ, ἐν ἁπλότητι, φερόμενος καρδίας, ὅθεν βοῶμεν πίστει οἱ τιμῶντές σε, δίδου ἡμῖν ταύτην, ὡς κλεῖδα Βασιλείας.

*Θεοτοκίον*

Ἐλεπρώθη, ψυχή μου Θεομῆτορ, καὶ ἐξέζησαν τὰ ἕλκη τῶν πταισμάτων, διὸ ἐμπόνως κράζω καθικέτευε, σὺν τῷ Νικολάῳ, Φιλάνθρωπον Υἱόν σου.

*ᾨδὴ θ΄. Ἐξέστη ἐπὶ τούτῳ.*

Ὑψώθη σου τὸ ὄνομα θαυμαστῶς, καὶ τῆς γῆς περιῆλθε τὰ πέρατα, βίος ὁ σός, ὦ χριστοταπείνωτε ἱερεῦ, Νικόλαε θαυμάσιε, ὅτι σκεῦος γέγονας ἀρετῶν, ἐν σώματι ἐνταῦθα, διὸ ἐν οὐρανίοις, πρέσβυς ἡμῶν γενοῦ μακάριε.

Χορὸς τῶν Πρεσβυτέρων περιχαρῶς, οὐρανίου Σιὼν ὑπεδέξατο, ψυχὴν τὴν σήν, ὡς ἀγγελονόου συλλειτουργοῦ, διὸ πάτερ Νικόλαε, μνήσθητι τῶν δούλων σου ἐκτενῶς, καὶ θείας Βασιλείας, δεῖξον συγκληρονόμους, τοὺς πολιτείαν σου θαυμάζοντας.

Οὐκ ἔτι τὸ σαρκίον τὸ ἀσθενές, ἐμποδίζει σε πάτερ Νικόλαε, ἐκ τῆς εὐχῆς, καὶ τῆς θεωρίας τοῦ Ἰησοῦ, ἀλλὰ βλέπεις φανώτερον, ἅπερ ἐπεθύμεις ὢν ἐν τῇ γῇ, διὸ παρακαλοῦμεν, ἀξίωσον συστῆναι, ἡμᾶς Ἐδὲμ ἐν τοῖς σκηνώμασι.

Ὑπόκλινον τὸ οὖς σου τὸ μυστικόν, ἱερέων Κυρίου ἀγλάϊσμα, καὶ εὐμενῶς, δέχου τὰς αἰτήσεις σῶν ἱκετῶν, καὶ ταύτας ἀεὶ πρόσφερε, τῷ ἠγαπημένῳ σου Ἰησοῦ, ὅπως παράσχῃ χάριν, καὶ ἔλεος τοῖς ὅσοι, τὴν θείαν μνήμην σου γεραίρομεν.

*Θεοτοκίον*

Ἁμάξῃ μητρικῶν σου ἱκεσιῶν, τῷ Υἱῷ σου παράστησον Δέσποινα, ἐμὴν ψυχήν, παραλελυμένην ἐκ τῶν παθῶν, καὶ αἴτησαι Πανάμωμε, σὺν τῷ Νικολάῳ τῷ θαυμαστῷ, ταύτην ἐξαναστῆσαι, καὶ δείξῃ ὑγιῶσαν, εἰς ἐντολῶν Αὐτοῦ ἐκπλήρωσιν.

Ἄξιόν ἐστι... *καὶ τὰ Μεγαλυνάρια.*

Χαίροις ἱερέων ἡ καλλονή, ἀγρυπνίας φίλε, καὶ ἀγγέλων συλλειτουργέ, πάντιμε εὐχέτα, προστάτα ἀπορούντων, Νικόλαε λευῒτα, θεομακάριστε.

Χρόνου νῦν ὑπέρτερος καὶ σαρκός, εὔχου θεῖε Πάτερ, τῷ Δεσπότῃ σου ἐκτενῶς, ὅπως καταπέμψῃ, τοῖς σὲ τιμῶσι πόθῳ, Νικόλαε τὴν χάριν, καὶ μέγα ἔλεος.

Ἅμα Νικοδήμῳ τῷ θαυμαστῷ, τῷ σῷ συμπολίτῃ, καθικέτευσε τὸν Χριστόν, ὅπως ἀξιώσῃ, γενέσθαι κληρονόμους, ἡμᾶς τῆς Βασιλείας, πάτερ Νικόλαε.

Ἔνδυσον ἡμᾶς τὴν καταστολήν, ταπεινοφροσύνης, καὶ ἁπλότητος ἐν Χριστῷ, ὅπως χαρισμάτων, μετάσχωμεν Κυρίου, εὐχαῖς σου παναγίαις, θεῖε Νικόλαε.

Τοὺς καταφοιτῶντας τῷ σῷ ναῷ, καὶ ἐξαιτουμένους, τὴν ταχεῖάν σου ἀῤῥωγήν, δέχου θεῖε Πάτερ, καὶ δίδου αἰτημάτων, τὴν λύσιν πρὸς συμφέρον, ψυχῶν Νικόλαε.

Νίκην δίδου πάτερ κατὰ παθῶν, τῶν ψυχολετείρων, καὶ ἐγκαίνισον τὴν εὐχήν, Κυρίου καρδίαις, τῶν σὲ τιμώντων πόθῳ, Νικόλαε εὐχέτα, συμπάσης κτίσεως.

Ἅμα Νικολάῳ Μύρων σεπτῷ, τῷ σῷ συνωνύμῳ, ἱκετεύσατε τὸν Χριστόν, ὅπως θείαν χάριν, παράσχῃ τοῖς τιμῶσιν, ὑμῶν τὴν θείαν μνήμην, πάτερ Νικόλαε.

Πᾶσαι τῶν Ἀγγέλων....

*Τρισάγιον. Παναγία Τριάς. Πάτερ ἡμῶν. Ὅτι σοῦ ἐστιν. καὶ τὰ τροπάρια*

Ἐλέησον ἡμᾶς, Κύριε ἐλέησον ἡμᾶς. Πάσης γὰρ ἀπολογίας ἀποροῦντες, ταύτην σοι τὴν ἱκεσίαν ὡς Δεσπότῃ οἱ ἁμαρτωλοὶ προσφέρομεν· ἐλέησον ἡμᾶς.

*Δόξα Πατρί.*

www.tezaurliturgic.ro

Κύριε, ἐλέησον ἡμᾶς· ἐπὶ σοὶ γὰρ πεποίθαμεν. Μὴ ὀργισθῇς ἡμῖν σφόδρα, μηδὲ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν· ἀλλ’ἐπίβλεψον καὶ νῦν ὡς εὔσπλαγχνος καὶ λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν. Σὺ γὰρ εἶ Θεὸς ἡμῶν καὶ ἡμεῖς λαός σου· πάντες ἔργα χειρῶν σου καὶ τὸ ὄνομά σου ἐπικεκλήμεθα.

*Καὶ νῦν.*

Τῆς εὐσπλαγχνίας τὴν πύλην ἄνοιξον ἡμῖν, εὐλογημένη Θεοτόκε. Ἐλπίζοντες εἰς σὲ μὴ ἀστοχήσαιμεν· ῥυσθείημεν διὰ σοῦ τῶν περιστάσεων. Σὺ γὰρ εἶ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

*Εἰς τὴν ἀπόλυσιν ψάλλομεν στιχηρὸν προσόμοιον.*

*Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου σε.*

Πλάνης τῶν τοῦ βίου ἡδονῶν, καὶ ἁμαρτιῶν τῆς ὁμίχλης, πάντας ἀπάλλαξον, πάντιμε Νικόλαε, θείαις πρεσβείαις σου, καὶ τὸ φῶς ἡμῖν δώρησαι, Χριστοῦ τοῦ Σωτῆρος, ὅπως πορευσώμεθα, ὁδὸν τὴν ἄγουσαν, πρὸς τὴν ἐπουράνιον δόξαν, ἔνθα ἐξωστράκισται πόνος, δάκρυον καὶ βίου θλῖψις ἅπασα.

Δέσποινα πρόσδεξαι, τὰς δεήσεις τῶν δούλων σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου, εἰς σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

Ἐκ παντοίων κινδύνων τοὺς δούλους σου, φύλαττε, εὐλογημένη Θεοτόκε, ἵνα σε δοξάζωμεν, τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

Τῇ πρεσβείᾳ, Κύριε, πάντων τῶν Ἁγίων, καὶ τῆς Θεοτόκου, τὴν σὴν εἰρήνην δὸς ἡμῖν, καὶ ἐλέησον ἡμᾶς, ὡς μόνος οἰκτίρμων.

Δι’ εὐχῶν.

* * *

Στίχοι

Χριστῷ θυσίας λογικὰς ἀναδείξαις,<br>
Ἀνευφημοῦντας, Νικόλαε, σὸν βίον.

www.tezaurliturgic.ro

Συνετέθη, σὺν Θεῷ ἁγίῳ, ὁ παρὼν Παρακλητικὸς κανὼν ἐν τῇ Ἱερᾷ Μονῇ Σίμωνος Πέτρας Ἁγίου Ὄρους Ἄθω, τῇ 1. 2. 1996.